# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

1 παυλοσ αποστολοσ ιησου χριστου δια θεληματοσ θεου
τοισ αγιοισ τοισ ουσιν εν εφεσω και πιστοισ εν χριστω
ιησου 2 χαρισ υμιν και ειρηνη απο θεου πατροσ ημων
και κυριου ιησου χριστου 3 ευλογητοσ ο θεοσ και πατηρ
του κυριου ημων ιησου χριστου ο ευλογησασ ημασ εν
παση ευλογια πνευματικη εν τοισ επουρανιοισ εν χριστω
4 καθωσ εξελεξατο ημασ εν αυτω προ καταβολησ κοσμου
ειναι ημασ αγιουσ και αμωμουσ κατενωπιον αυτου εν
αγαπη 5 προορισασ ημασ εισ υιοθεσιαν δια ιησου χριστου
εισ αυτον κατα την ευδοκιαν του θεληματοσ αυτου 6 εισ
επαινον δοξησ τησ χαριτοσ αυτου εν η εχαριτωσεν ημασ
εν τω ηγαπημενω 7 εν ω εχομεν την απολυτρωσιν δια
του αιματοσ αυτου την αφεσιν των παραπτωματων κατα
τον πλουτον τησ χαριτοσ αυτου 8 ησ επερισσευσεν εισ
ημασ εν παση σοφια και φρονησει 9 γνωρισασ ημιν το
μυστηριον του θεληματοσ αυτου κατα την ευδοκιαν αυτου
ην προεθετο εν αυτω 10 εισ οικονομιαν του πληρωματοσ
των καιρων ανακεφαλαιωσασθαι τα παντα εν τω χριστω
τα επι τοισ ουρανοισ και τα επι τησ γησ 11 εν αυτω εν ω και
εκληρωθημεν προορισθεντεσ κατα προθεσιν του τα παντα
ενεργουντοσ κατα την βουλην του θεληματοσ αυτου 12 εισ
το ειναι ημασ εισ επαινον δοξησ αυτου τουσ προηλπικοτασ
εν τω χριστω 13 εν ω και υμεισ ακουσαντεσ τον λογον
τησ αληθειασ το ευαγγελιον τησ σωτηριασ υμων εν ω και
πιστευσαντεσ εσφραγισθητε τω πνευματι τησ επαγγελιασ
τω αγιω 14 οσ εστιν αρραβων τησ κληρονομιασ ημων εισ
απολυτρωσιν τησ περιποιησεωσ εισ επαινον τησ δοξησ
αυτου 15 δια τουτο καγω ακουσασ την καθ υμασ πιστιν
εν τω κυριω ιησου και την αγαπην την εισ παντασ τουσ
αγιουσ 16 ου παυομαι ευχαριστων υπερ υμων μνειαν υμων

ποιουμενοσ επι των προσευχων μου [17] ινα ο θεοσ του
κυριου ημων ιησου χριστου ο πατηρ τησ δοξησ δωη υμιν
πνευμα σοφιασ και αποκαλυψεωσ εν επιγνωσει αυτου
[18] πεφωτισμενουσ τουσ οφθαλμουσ τησ καρδιασ υμων εισ
το ειδεναι υμασ τισ εστιν η ελπισ τησ κλησεωσ αυτου και
τισ ο πλουτοσ τησ δοξησ τησ κληρονομιασ αυτου εν τοισ
αγιοισ [19] και τι το υπερβαλλον μεγεθοσ τησ δυναμεωσ
αυτου εισ ημασ τουσ πιστευοντασ κατα την ενεργειαν
του κρατουσ τησ ισχυοσ αυτου [20] ην ενηργησεν εν τω
χριστω εγειρασ αυτον εκ των νεκρων και εκαθισεν εν
δεξια αυτου εν τοισ επουρανιοισ [21] υπερανω πασησ αρχησ
και εξουσιασ και δυναμεωσ και κυριοτητοσ και παντοσ
ονοματοσ ονομαζομενου ου μονον εν τω αιωνι τουτω
αλλα και εν τω μελλοντι [22] και παντα υπεταξεν υπο τουσ
ποδασ αυτου και αυτον εδωκεν κεφαλην υπερ παντα τη
εκκλησια [23] ητισ εστιν το σωμα αυτου το πληρωμα του τα
παντα εν πασιν πληρουμενου

# 2

[1] και υμασ οντασ νεκρουσ τοισ παραπτωμασιν και ταισ
αμαρτιαισ [2] εν αισ ποτε περιεπατησατε κατα τον αιωνα του
κοσμου τουτου κατα τον αρχοντα τησ εξουσιασ του αεροσ
του πνευματοσ του νυν ενεργουντοσ εν τοισ υιοισ τησ
απειθειασ [3] εν οισ και ημεισ παντεσ ανεστραφημεν ποτε εν
ταισ επιθυμιαισ τησ σαρκοσ ημων ποιουντεσ τα θεληματα
τησ σαρκοσ και των διανοιων και ημεν τεκνα φυσει οργησ
ωσ και οι λοιποι [4] ο δε θεοσ πλουσιοσ ων εν ελεει δια την
πολλην αγαπην αυτου ην ηγαπησεν ημασ [5] και οντασ ημασ
νεκρουσ τοισ παραπτωμασιν συνεζωοποιησεν τω χριστω
χαριτι εστε σεσωσμενοι [6] και συνηγειρεν και συνεκαθισεν
εν τοισ επουρανιοισ εν χριστω ιησου [7] ινα ενδειξηται
εν τοισ αιωσιν τοισ επερχομενοισ τον υπερβαλλοντα
πλουτον τησ χαριτοσ αυτου εν χρηστοτητι εφ ημασ εν

χριστω ιησου 8 τη γαρ χαριτι εστε σεσωσμενοι δια τησ
πιστεωσ και τουτο ουκ εξ υμων θεου το δωρον 9 ουκ
εξ εργων ινα μη τισ καυχησηται 10 αυτου γαρ εσμεν
ποιημα κτισθεντεσ εν χριστω ιησου επι εργοισ αγαθοισ
οισ προητοιμασεν ο θεοσ ινα εν αυτοισ περιπατησωμεν
11 διο μνημονευετε οτι υμεισ ποτε τα εθνη εν σαρκι οι
λεγομενοι ακροβυστια υπο τησ λεγομενησ περιτομησ εν
σαρκι χειροποιητου 12 οτι ητε εν τω καιρω εκεινω χωρισ
χριστου απηλλοτριωμενοι τησ πολιτειασ του ισραηλ και
ξενοι των διαθηκων τησ επαγγελιασ ελπιδα μη εχοντεσ
και αθεοι εν τω κοσμω 13 νυνι δε εν χριστω ιησου
υμεισ οι ποτε οντεσ μακραν εγγυσ εγενηθητε εν τω
αιματι του χριστου 14 αυτοσ γαρ εστιν η ειρηνη ημων ο
ποιησασ τα αμφοτερα εν και το μεσοτοιχον του φραγμου
λυσασ 15 την εχθραν εν τη σαρκι αυτου τον νομον
των εντολων εν δογμασιν καταργησασ ινα τουσ δυο
κτιση εν εαυτω εισ ενα καινον ανθρωπον ποιων ειρηνην
16 και αποκαταλλαξη τουσ αμφοτερουσ εν ενι σωματι τω
θεω δια του σταυρου αποκτεινασ την εχθραν εν αυτω
17 και ελθων ευηγγελισατο ειρηνην υμιν τοισ μακραν
και τοισ εγγυσ 18 οτι δι αυτου εχομεν την προσαγωγην
οι αμφοτεροι εν ενι πνευματι προσ τον πατερα 19 αρα
ουν ουκετι εστε ξενοι και παροικοι αλλα συμπολιται
των αγιων και οικειοι του θεου 20 εποικοδομηθεντεσ
επι τω θεμελιω των αποστολων και προφητων οντοσ
ακρογωνιαιου αυτου ιησου χριστου 21 εν ω πασα οικοδομη
συναρμολογουμενη αυξει εισ ναον αγιον εν κυριω 22 εν ω
και υμεισ συνοικοδομεισθε εισ κατοικητηριον του θεου εν
πνευματι

# 3

1 τουτου χαριν εγω παυλοσ ο δεσμιοσ του χριστου ιησου
υπερ υμων των εθνων 2 ειγε ηκουσατε την οικονομιαν

της χαριτος του θεου της δοθεισης μοι εις υμας 3 οτι
κατα αποκαλυψιν εγνωρισεν μοι το μυστηριον καθως
προεγραψα εν ολιγω 4 προς ο δυνασθε αναγινωσκοντες
νοησαι την συνεσιν μου εν τω μυστηριω του χριστου 5 ο
ετεραις γενεαις ουκ εγνωρισθη τοις υιοις των ανθρωπων
ως νυν απεκαλυφθη τοις αγιοις αποστολοις αυτου και
προφηταις εν πνευματι 6 ειναι τα εθνη συγκληρονομα
και συσσωμα και συμμετοχα της επαγγελιας αυτου εν
τω χριστω δια του ευαγγελιου 7 ου εγενομην διακονος
κατα την δωρεαν της χαριτος του θεου την δοθεισαν
μοι κατα την ενεργειαν της δυναμεως αυτου 8 εμοι τω
ελαχιστοτερω παντων αγιων εδοθη η χαρις αυτη εν
τοις εθνεσιν ευαγγελισασθαι τον ανεξιχνιαστον πλουτον
του χριστου 9 και φωτισαι παντας τις η οικονομια του
μυστηριου του αποκεκρυμμενου απο των αιωνων εν τω
θεω τω τα παντα κτισαντι δια ιησου χριστου 10 ινα
γνωρισθη νυν ταις αρχαις και ταις εξουσιαις εν τοις
επουρανιοις δια της εκκλησιας η πολυποικιλος σοφια του
θεου 11 κατα προθεσιν των αιωνων ην εποιησεν εν χριστω
ιησου τω κυριω ημων 12 εν ω εχομεν την παρρησιαν και
την προσαγωγην εν πεποιθησει δια της πιστεως αυτου
13 διο αιτουμαι μη εκκακειν εν ταις θλιψεσιν μου υπερ
υμων ητις εστιν δοξα υμων 14 τουτου χαριν καμπτω τα
γονατα μου προς τον πατερα του κυριου ημων ιησου
χριστου 15 εξ ου πασα πατρια εν ουρανοις και επι γης
ονομαζεται 16 ινα δωη υμιν κατα τον πλουτον της δοξης
αυτου δυναμει κραταιωθηναι δια του πνευματος αυτου
εις τον εσω ανθρωπον 17 κατοικησαι τον χριστον δια της
πιστεως εν ταις καρδιαις υμων 18 εν αγαπη ερριζωμενοι
και τεθεμελιωμενοι ινα εξισχυσητε καταλαβεσθαι συν
πασιν τοις αγιοις τι το πλατος και μηκος και βαθος και
υψος 19 γνωναι τε την υπερβαλλουσαν της γνωσεως
αγαπην του χριστου ινα πληρωθητε εις παν το πληρωμα

του θεου [20] τω δε δυναμενω υπερ παντα ποιησαι υπερ
εκπερισσου ων αιτουμεθα η νοουμεν κατα την δυναμιν
την ενεργουμενην εν ημιν [21] αυτω η δοξα εν τη εκκλησια
εν χριστω ιησου εισ πασασ τασ γενεασ του αιωνοσ των
αιωνων αμην

# 4

[1] παρακαλω ουν υμασ εγω ο δεσμιοσ εν κυριω αξιωσ
περιπατησαι τησ κλησεωσ ησ εκληθητε [2] μετα πασησ
ταπεινοφροσυνησ και πραοτητοσ μετα μακροθυμιασ
ανεχομενοι αλληλων εν αγαπη [3] σπουδαζοντεσ τηρειν
την ενοτητα του πνευματοσ εν τω συνδεσμω τησ ειρηνησ
[4] εν σωμα και εν πνευμα καθωσ και εκληθητε εν μια
ελπιδι τησ κλησεωσ υμων [5] εισ κυριοσ μια πιστισ εν
βαπτισμα [6] εισ θεοσ και πατηρ παντων ο επι παντων
και δια παντων και εν πασιν ημιν [7] ενι δε εκαστω ημων
εδοθη η χαρισ κατα το μετρον τησ δωρεασ του χριστου
[8] διο λεγει αναβασ εισ υψοσ ηχμαλωτευσεν αιχμαλωσιαν
και εδωκεν δοματα τοισ ανθρωποισ [9] το δε ανεβη τι
εστιν ει μη οτι και κατεβη πρωτον εισ τα κατωτερα
μερη τησ γησ [10] ο καταβασ αυτοσ εστιν και ο αναβασ
υπερανω παντων των ουρανων ινα πληρωση τα παντα
[11] και αυτοσ εδωκεν τουσ μεν αποστολουσ τουσ δε
προφητασ τουσ δε ευαγγελιστασ τουσ δε ποιμενασ και
διδασκαλουσ [12] προσ τον καταρτισμον των αγιων εισ
εργον διακονιασ εισ οικοδομην του σωματοσ του χριστου
[13] μεχρι καταντησωμεν οι παντεσ εισ την ενοτητα τησ
πιστεωσ και τησ επιγνωσεωσ του υιου του θεου εισ
ανδρα τελειον εισ μετρον ηλικιασ του πληρωματοσ του
χριστου [14] ινα μηκετι ωμεν νηπιοι κλυδωνιζομενοι και
περιφερομενοι παντι ανεμω τησ διδασκαλιασ εν τη κυβεια
των ανθρωπων εν πανουργια προσ την μεθοδειαν τησ
πλανησ [15] αληθευοντεσ δε εν αγαπη αυξησωμεν εισ

αυτον τα παντα οσ εστιν η κεφαλη ο χριστοσ 16 εξ ου
παν το σωμα συναρμολογουμενον και συμβιβαζομενον
δια πασησ αφησ τησ επιχορηγιασ κατ ενεργειαν εν μετρω
ενοσ εκαστου μερουσ την αυξησιν του σωματοσ ποιειται
εισ οικοδομην εαυτου εν αγαπη 17 τουτο ουν λεγω και
μαρτυρομαι εν κυριω μηκετι υμασ περιπατειν καθωσ και
τα λοιπα εθνη περιπατει εν ματαιοτητι του νοοσ αυτων
18 εσκοτισμενοι τη διανοια οντεσ απηλλοτριωμενοι
τησ ζωησ του θεου δια την αγνοιαν την ουσαν εν
αυτοισ δια την πωρωσιν τησ καρδιασ αυτων 19 οιτινεσ
απηλγηκοτεσ εαυτουσ παρεδωκαν τη ασελγεια εισ
εργασιαν ακαθαρσιασ πασησ εν πλεονεξια 20 υμεισ δε
ουχ ουτωσ εμαθετε τον χριστον 21 ειγε αυτον ηκουσατε
και εν αυτω εδιδαχθητε καθωσ εστιν αληθεια εν τω ιησου
22 αποθεσθαι υμασ κατα την προτεραν αναστροφην τον
παλαιον ανθρωπον τον φθειρομενον κατα τασ επιθυμιασ
τησ απατησ 23 ανανεουσθαι δε τω πνευματι του νοοσ
υμων 24 και ενδυσασθαι τον καινον ανθρωπον τον
κατα θεον κτισθεντα εν δικαιοσυνη και οσιοτητι τησ
αληθειασ 25 διο αποθεμενοι το ψευδοσ λαλειτε αληθειαν
εκαστοσ μετα του πλησιον αυτου οτι εσμεν αλληλων μελη
26 οργιζεσθε και μη αμαρτανετε ο ηλιοσ μη επιδυετω επι
τω παροργισμω υμων 27 μηδε διδοτε τοπον τω διαβολω
28 ο κλεπτων μηκετι κλεπτετω μαλλον δε κοπιατω
εργαζομενοσ το αγαθον ταισ χερσιν ινα εχη μεταδιδοναι
τω χρειαν εχοντι 29 πασ λογοσ σαπροσ εκ του στοματοσ
υμων μη εκπορευεσθω αλλ ει τισ αγαθοσ προσ οικοδομην
τησ χρειασ ινα δω χαριν τοισ ακουουσιν 30 και μη λυπειτε
το πνευμα το αγιον του θεου εν ω εσφραγισθητε εισ
ημεραν απολυτρωσεωσ 31 πασα πικρια και θυμοσ και
οργη και κραυγη και βλασφημια αρθητω αφ υμων
συν παση κακια 32 γινεσθε δε εισ αλληλουσ χρηστοι

ευσπλαγχνοι χαριζομενοι εαυτοις καθως και ο θεος εν
χριστω εχαρισατο ημιν

# 5

1 γινεσθε ουν μιμηται του θεου ως τεκνα αγαπητα 2 και
περιπατειτε εν αγαπη καθως και ο χριστος ηγαπησεν
ημας και παρεδωκεν εαυτον υπερ ημων προσφοραν
και θυσιαν τω θεω εις οσμην ευωδιας 3 πορνεια δε
και πασα ακαθαρσια η πλεονεξια μηδε ονομαζεσθω
εν υμιν καθως πρεπει αγιοις 4 και αισχροτης και
μωρολογια η ευτραπελια τα ουκ ανηκοντα αλλα μαλλον
ευχαριστια 5 τουτο γαρ εστε γινωσκοντες οτι πας πορνος
η ακαθαρτος η πλεονεκτης ος εστιν ειδωλολατρης ουκ
εχει κληρονομιαν εν τη βασιλεια του χριστου και θεου
6 μηδεις υμας απατατω κενοις λογοις δια ταυτα γαρ
ερχεται η οργη του θεου επι τους υιους της απειθειας
7 μη ουν γινεσθε συμμετοχοι αυτων 8 ητε γαρ ποτε
σκοτος νυν δε φως εν κυριω ως τεκνα φωτος περιπατειτε
9 ο γαρ καρπος του πνευματος εν παση αγαθωσυνη
και δικαιοσυνη και αληθεια 10 δοκιμαζοντες τι εστιν
ευαρεστον τω κυριω 11 και μη συγκοινωνειτε τοις εργοις
τοις ακαρποις του σκοτους μαλλον δε και ελεγχετε 12 τα
γαρ κρυφη γινομενα υπ αυτων αισχρον εστιν και λεγειν
13 τα δε παντα ελεγχομενα υπο του φωτος φανερουται
παν γαρ το φανερουμενον φως εστιν 14 διο λεγει εγειρε
ο καθευδων και αναστα εκ των νεκρων και επιφαυσει σοι
ο χριστος 15 βλεπετε ουν πως ακριβως περιπατειτε μη
ως ασοφοι αλλ ως σοφοι 16 εξαγοραζομενοι τον καιρον
οτι αι ημεραι πονηραι εισιν 17 δια τουτο μη γινεσθε
αφρονες αλλα συνιεντες τι το θελημα του κυριου 18 και
μη μεθυσκεσθε οινω εν ω εστιν ασωτια αλλα πληρουσθε
εν πνευματι 19 λαλουντες εαυτοις ψαλμοις και υμνοις και
ωδαις πνευματικαις αδοντες και ψαλλοντες εν τη καρδια

υμων τω κυριω 20 ευχαριστουντες παντοτε υπερ παντων
εν ονοματι του κυριου ημων ιησου χριστου τω θεω
και πατρι 21 υποτασσομενοι αλληλοις εν φοβω χριστου
22 αι γυναικες τοις ιδιοις ανδρασιν υποτασσεσθε ως τω
κυριω 23 οτι ανηρ εστιν κεφαλη της γυναικος ως και ο
χριστος κεφαλη της εκκλησιας και αυτος εστιν σωτηρ του
σωματος 24 αλλ ωσπερ η εκκλησια υποτασσεται τω χριστω
ουτως και αι γυναικες τοις ιδιοις ανδρασιν εν παντι
25 οι ανδρες αγαπατε τας γυναικας εαυτων καθως και ο
χριστος ηγαπησεν την εκκλησιαν και εαυτον παρεδωκεν
υπερ αυτης 26 ινα αυτην αγιαση καθαρισας τω λουτρω
του υδατος εν ρηματι 27 ινα παραστηση αυτην εαυτω
ενδοξον την εκκλησιαν μη εχουσαν σπιλον η ρυτιδα η
τι των τοιουτων αλλ ινα η αγια και αμωμος 28 ουτως
οφειλουσιν οι ανδρες αγαπαν τας εαυτων γυναικας ως
τα εαυτων σωματα ο αγαπων την εαυτου γυναικα εαυτον
αγαπα 29 ουδεις γαρ ποτε την εαυτου σαρκα εμισησεν
αλλ εκτρεφει και θαλπει αυτην καθως και ο κυριος
την εκκλησιαν 30 οτι μελη εσμεν του σωματος αυτου
εκ της σαρκος αυτου και εκ των οστεων αυτου 31 αντι
τουτου καταλειψει ανθρωπος τον πατερα αυτου και την
μητερα και προσκολληθησεται προς την γυναικα αυτου
και εσονται οι δυο εις σαρκα μιαν 32 το μυστηριον τουτο
μεγα εστιν εγω δε λεγω εις χριστον και εις την εκκλησιαν
33 πλην και υμεις οι καθ ενα εκαστος την εαυτου γυναικα
ουτως αγαπατω ως εαυτον η δε γυνη ινα φοβηται τον
ανδρα

# 6

1 τα τεκνα υπακουετε τοις γονευσιν υμων εν κυριω
τουτο γαρ εστιν δικαιον 2 τιμα τον πατερα σου και την
μητερα ητις εστιν εντολη πρωτη εν επαγγελια 3 ινα ευ σοι
γενηται και εση μακροχρονιος επι της γης 4 και οι πατερες

μη παροργιζετε τα τεκνα υμων αλλ εκτρεφετε αυτα
εν παιδεια και νουθεσια κυριου 5 οι δουλοι υπακουετε
τοισ κυριοισ κατα σαρκα μετα φοβου και τρομου εν
απλοτητι τησ καρδιασ υμων ωσ τω χριστω 6 μη κατ
οφθαλμοδουλειαν ωσ ανθρωπαρεσκοι αλλ ωσ δουλοι του
χριστου ποιουντεσ το θελημα του θεου εκ ψυχησ 7 μετ
ευνοιασ δουλευοντεσ ωσ τω κυριω και ουκ ανθρωποισ
8 ειδοτεσ οτι ο εαν τι εκαστοσ ποιηση αγαθον τουτο
κομιειται παρα του κυριου ειτε δουλοσ ειτε ελευθεροσ
9 και οι κυριοι τα αυτα ποιειτε προσ αυτουσ ανιεντεσ την
απειλην ειδοτεσ οτι και υμων αυτων ο κυριοσ εστιν εν
ουρανοισ και προσωποληψια ουκ εστιν παρ αυτω 10 το
λοιπον αδελφοι μου ενδυναμουσθε εν κυριω και εν τω
κρατει τησ ισχυοσ αυτου 11 ενδυσασθε την πανοπλιαν του
θεου προσ το δυνασθαι υμασ στηναι προσ τασ μεθοδειασ
του διαβολου 12 οτι ουκ εστιν ημιν η παλη προσ αιμα
και σαρκα αλλα προσ τασ αρχασ προσ τασ εξουσιασ προσ
τουσ κοσμοκρατορασ του σκοτουσ του αιωνοσ τουτου
προσ τα πνευματικα τησ πονηριασ εν τοισ επουρανιοισ
13 δια τουτο αναλαβετε την πανοπλιαν του θεου ινα
δυνηθητε αντιστηναι εν τη ημερα τη πονηρα και απαντα
κατεργασαμενοι στηναι 14 στητε ουν περιζωσαμενοι την
οσφυν υμων εν αληθεια και ενδυσαμενοι τον θωρακα
τησ δικαιοσυνησ 15 και υποδησαμενοι τουσ ποδασ εν
ετοιμασια του ευαγγελιου τησ ειρηνησ 16 επι πασιν
αναλαβοντεσ τον θυρεον τησ πιστεωσ εν ω δυνησεσθε
παντα τα βελη του πονηρου τα πεπυρωμενα σβεσαι
17 και την περικεφαλαιαν του σωτηριου δεξασθαι και
την μαχαιραν του πνευματοσ ο εστιν ρημα θεου 18 δια
πασησ προσευχησ και δεησεωσ προσευχομενοι εν παντι
καιρω εν πνευματι και εισ αυτο τουτο αγρυπνουντεσ
εν παση προσκαρτερησει και δεησει περι παντων των
αγιων 19 και υπερ εμου ινα μοι δοθη λογοσ εν ανοιξει

του στοματοσ μου εν παρρησια γνωρισαι το μυστηριον
του ευαγγελιου 20 υπερ ου πρεσβευω εν αλυσει ινα εν
αυτω παρρησιασωμαι ωσ δει με λαλησαι 21 ινα δε ειδητε
και υμεισ τα κατ εμε τι πρασσω παντα υμιν γνωρισει
τυχικοσ ο αγαπητοσ αδελφοσ και πιστοσ διακονοσ εν
κυριω 22 ον επεμψα προσ υμασ εισ αυτο τουτο ινα γνωτε
τα περι ημων και παρακαλεση τασ καρδιασ υμων 23 ειρηνη
τοισ αδελφοισ και αγαπη μετα πιστεωσ απο θεου πατροσ
και κυριου ιησου χριστου 24 η χαρισ μετα παντων των
αγαπωντων τον κυριον ημων ιησουν χριστον εν αφθαρσια
αμην

# Η Καινή Διαθήκη
# The Greek New Testament according to the Byzantine Text form. Robinson-Pierpont 2018 edition

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Translation by: Maurice A. Robinson and William G. Pierpont

This public domain Bible translation is brought to you courtesy of eBible.org. If you would like to make a donation to help keep free Bible access like this going, please visit https://eBible.org/give.php.

2024-01-09

---

PDF generated using Haiola and XeLaTeX on 21 Feb 2024 from source files dated 13 Jan 2024
b320f4f6-a7ea-551a-b958-9885c39d847e